www.tezaurliturgic.ro

# TEZAUR LITURGIC

## 5 IULIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA

## SF.CUVIOS-MUCENIC

# CIPRIAN

# CUTLUMUŞIUL

## DE LA

## CONSTANTINOPOL

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 05 ΙΟΥΛΙΟΣ

# ΚΥΠΡΙΑΝΟΣ ΝΕΟΣ ΙΕΡΟΜΑΡΤΥΣ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Κυπριανοῦ τοῦ ἐνθέου Ἱερομάρτυρος, τὴν φωτοφόρον μνήμην, ἑορτάσωμεν πάντες· οὗτος γὰρ ἀσκήσει θεοπρεπεῖ, τῷ Χριστῷ εὐηρέστησε, καὶ μαρτυρήσας νομίμως ὑπὲρ Χριστοῦ, διπλοῦν στέφανον ἐδέξατο.

Ἀνατεθεὶς τῷ Κυρίῳ ἀπὸ νεότητος, Κυπριανὲ θεόφρον, ἀρετῶν σκεῦος ὤφθης, καὶ ἔρωτι ἁγίῳ ἀναφλεχθείς, τὸ σὸν αἷμα ἐξέχεας, ὑπὲρ Χριστοῦ· Ὃν δυσώπει ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Ἀκαταπλήκτῳ καρδίᾳ Κυπριανὲ ἱερέ, ἐχώρησας προθύμως, μαρτυρίου πρὸς ἄθλους, καὶ χαίρων ἀπετμήθης τὴν κεφαλήν, δι’ ἀγάπην τοῦ Κτίστου σου· καὶ νῦν τῶν πόθων τὴν πλήρωσιν εὑρηκώς, τῶν τιμώντων σε προΐστασο.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις τὴν σὴν ἁγίαν στολήν, Κυπριανὲ ποικίλας, ὡς νομίμως ἀθλήσας, κλεινὸς Ἱερομάρτυς Χριστοῦ τοῦ Θεοῦ, ἐν ὑστέροις

τοῖς ἔτεσιν, ὤφθης θεόφρον καὶ χάριν νέμεις ἡμῖν, τοῖς τιμῶσί σε θεόσδοτον.

*Δόξα. Ἦχος γ΄.*

Τῶν ἀρετῶν τῷ φωτί, δι' ἀσκήσεως λαμπρυνθείς, πρὸς μαρτυρίου ἀκρώρειαν ἤρθης, καλῶς ἀγωνισάμενος, Κυπριανὲ ἱερώτατε· τοῦ γὰρ θείου ἔρωτος, κάτοχος γενόμενος, σαρκὸς φθειρομένης ἠλόγησας, καὶ ἐν εὐφροσύνῃ θανεῖν προείλου, ὑπὲρ Χριστοῦ μακάριε· διὸ τῆς ἀθανάτου ζωῆς, ἐν μεθέξει γεγονώς, καὶ μακαρίων ἐπάθλων ἀξιούμενος, ἱκέτευε ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀποῤῥήτως τεκοῦσα Χριστὸν τὸν Κύριον, τὸν Ἀδὰμ ἐῤῥύσω τῆς πάλαι κατακρίσεως, Θεοτόκε ἀειπάρθενε· διὸ κἀμὲ λύτρωσαι, τῆς τῶν παθῶν ὀχλήσεως, ἱκετεύω Σε, τῇ ταχείᾳ ἀντιλήψει Σου ἄχραντε.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Οἶκος τῶν ἀρετῶν, δι' ἐγκρατείας ὤφθης, Κυπριανὲ παμμάκαρ, καὶ τὸ οἰκεῖον αἷμα, ὑπὲρ Χριστοῦ ἐξέχεας.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στόματι ἱερῷ, Χριστὸν ὁμολογήσας, κατήσχυνας τὴν πλάνην, Κυπριανὲ τρισμάκαρ, καὶ καρτερῶς ἐνήθλησας.

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

Αἵματι ἱερῷ, τὴν σὴν στολὴν φοινίξας, Χριστοῦ Ἱερομάρτυς, εἰσῆλθες μετὰ δόξης, ναὸν πρὸς ὑπερκόσμιον.

*Δόξα. Τριαδικόν.*

Ἤσχυνε τὸν ἐχθρόν, Κυπριανὸν ἀθλήσας, Τριὰς Ὑπεραγία, ῥωννύμενος ἀΰλως, θεαρχικῇ δυνάμει Σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Φέρουσα ἐν χερσίν, ὡς νήπιον Παρθένε, τὸν Κύριον τῆς δόξης, Αὐτὸν ἀεὶ δυσώπει, ὑπὲρ ἡμῶν δεόμεθα.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἐν ἀσκήσει νεκρώσας σαρκὸς τὸ φρόνημα, μαρτυρικῶς ἠγωνίσω Κυπριανὲ ἱερέ, καὶ ἐδόξασας Χριστὸν οἰκείοις αἵμασιν· ὅθεν τῆς δόξης κοινωνός, τοῦ Σωτῆρος γεγονώς, ὡς θεῖος Ἱερομάρτυς, ἀδιαλείπτως δυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἕτερον. Ἦχος γ΄. Τὴν ἐν σαρκὶ ζωήν.*

Τὸν θεῖον ἔρωτα, τὸν τοῦ Κυρίου σου, καὶ τὴν ἐκζήτησιν, τοῦ μαρτυρίου σου, Ἀγγέλων δῆμοι καὶ πιστοὶ ἐθαύμασαν πανεύφημε· διὰ τῆς ἀσκήσεως, καὶ πολλῆς παῤῥησίας σου, ἐν ὁμολογίᾳ τε, καὶ φοινίξει αἱμάτων σου, Κυπριανὲ ἀθλοφόρε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ

σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Κόσμου, τὴν ἀπάτην ἐκφυγών, ἦρας ἐπωμάδιον Πάτερ, τὸν τοῦ Κυρίου ζυγόν, καὶ σαυτὸν ὑπέταξας, νόμῳ τῆς χάριτος· διὰ τοῦτο ἀνέδραμες, πρὸς θείας ἀγάπης, ὕψος τὸ μετάρσιον, Κυπριανὲ ἱερέ· ὅθεν, καὶ νομίμως ἀθλήσας, πᾶσι χορηγεῖς τὰς αἰτήσεις, τοῖς πανηγυρίζουσι τὴν μνήμην σου.

Ὅτε, δι' ἀσκήσεως στεῤῥᾶς, Πάτερ ἐν τῷ Ὄρει τοῦ Ἄθω, τὸν νοῦν ἐκάθηρας, τότε πλήρης γέγονας, φωτὸς τῆς χάριτος, καὶ τρωθεὶς θείῳ ἔρωτι, ἐχώρησας χαίρων, πρὸς τὰ τῆς ἀθλήσεως, ἅγια σκάμματα, ἅπερ, διανύσας προθύμως, καὶ Χριστὸν ἐν ἄθλοις δοξάσας, ὢ Κυπριανὲ λαμπρῶς δεδόξασαι.

Ὅτε, παρεγένου ἐν χαρᾷ, Πάτερ Κωνσταντίνου τῇ πόλει, Κυπριανὲ ἱερέ, τότε ὡμολόγησας, εὐσήμῳ στόματι, τοῦ Σωτῆρος τὸ ὄνομα, μὴ δείσας βασάνους, μηδὲ θράσος τύραννον, ψυχῆς στεῤῥότητι· ὅθεν,

ἐκτμηθεὶς τὸν αὐχένα, ἤρθης πρὸς μονὰς οὐρανίους, ὡς Ἱερομάρτυς ἐνθεώτατος.

*Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ὡς ἐτρώθης τῷ ἔρωτι, τῆς Χριστοῦ ἀγαπήσεως, ἐν σαρκὶ ὡς ἄγγελος ὤφθης Ἅγιε, ὑπεραρθεὶς πάσης σχέσεως, γηΐνων τῷ πνεύματι, καὶ Μαρτύρων ζηλωτής, ἀληθῶς ἐχρημάτισας, ὡς ἠγώνισαι, καὶ καθεῖλες τῆς πλάνης τὴν ἀπάτην, τῇ ἀτρέπτῳ σου ἐνστάσει, Κυπριανὲ παμμακάριστε.

Τῶν Ὁσίων ὁ σύσκηνος, καὶ Μαρτύρων ὁ σύναθλος, ἀνυμνείσθω σήμερον θείοις ᾄσμασι, Κυπριανὸς ὁ μακάριος, λαμπὰς ἡ πολύφωτος, τῆς ἀγάπης τοῦ Χριστοῦ, ἱερέων τὸ καύχημα, Ὄρους Ἄθωνος, καὶ Ἀγράφων ἀγλάϊσμα καὶ θείων, Ἱερομαρτύρων κλέος, καὶ ἐν τῇ δόξῃ ἰσότιμος.

Ἀγαλλόμενος ἔσπευδες, πρὸς ἀγῶνας ἀθλήσεως, φέρων ἐν καρδίᾳ σου πῦρ τὸ ἄϋλον, Κυπριανὲ ἱερώτατε, ὃ βαλεῖν ἐλήλυθεν, ὁ Σωτὴρ ἐπὶ τῆς γῆς, καὶ τμηθεὶς τὸν αὐχένα σου, χαίρων εὕρηκας, τὴν τοῦ πόθου σου πλήρωσιν παμμάκαρ, ἐφετῶν τῷ ἀκροτάτῳ, διὰ παντὸς παριστάμενος.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, τῇ Ἐκκλησίᾳ ἐπέστη, ἡ τοῦ Ἱερομάρτυρος Κυπριανοῦ πανήγυρις, μυστικὰς ἀκτῖνας ἡμῖν ἐκλάμπουσα· τοῦ γὰρ ἀΰλου φωτός, κληρονόμος γεγονώς, σκότους παθῶν λυτροῦται, τοὺς πρὸς αὐτὸν εὐλαβῶς βοῶντας· χαίροις, ὁ τῆς θείας ἀγάπης, τοὺς

καρποὺς γεωργήσας, καὶ ἀθλητικοῖς σκάμμασι, τὴν Ἐκκλησίαν φαιδρύνας· χαίροις, ὁ λόγων εὐτολμίᾳ, Χριστὸν δοξάσας, καὶ αἱμάτων τοῖς ῥεύμασι, τὴν πλάνην καταποντίσας· χαίροις, Ἱερομάρτυς Χριστοῦ, Ὄρους Ἄθω ἄνθος, Ἀγράφων βλάστημα, καὶ πάσης Ἐκκλησίας ἐντρύφημα· ἣν ἀεὶ ἀσάλευτον φύλαττε, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν

ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.[Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ἱερομάρτυς Κυπριανέ, τῆς θείας ἀγάπης τρωθεὶς τῷ βέλει, οὐκ ἔσχες ἀνάπαυσιν, ἕως οὗ ἡνώθης, τῷ Χριστῷ δι' ἀθλήσεως· μακάριος εἶ, ὅτι ὡς ξένος καὶ πάροικος, ἐν κόσμῳ ἐπολιτεύσω, καὶ ὑερκοσμίου δόξης ἔτυχες, ὑπὲρ Χριστοῦ ἐκχέας τὸ αἷμά σου· ὅθεν, πιστῶν τὸ πλήρωμα, τὴν σὴν ἄθλησιν γεραίρει, καὶ ἡ ἐνεγκαμένη σε πατρίς, καυχᾶται τῇ δόξῃ σου. Ἀλλ' αἴτει ἡμῖν δεόμεθα, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

*Ἦχος β΄.*

Τῷ τοῦ Σωτῆρος ζυγῷ, ὑποσχὼν εὐπειθῶς τὸν αὐχένα, τὰ ἐν κόσμῳ τέρποντα ἀπεβάλου, ὡς ἀχθοφόρημα Ἅγιε, ἀσκητικῶς Θεῷ ἀναγόμενος· καὶ ἱερωσύνης τὴν χλαῖναν, ὡς ἐπάξιον σκεῦος, ἱερῶς ἀμφιεσάμενος, ἐν ὁσιότητι καὶ ἀληθείᾳ, ἱερατεύσας Κυρίῳ· ᾧ καὶ πόνοις προσθέμενος, καὶ τῶν κάτω ἀφιστάμενος, ὡς θῦμα εὐπρόσδεκτον, καὶ προσφορὰν λογικήν, ἀθλητικῶς σεαυτὸν προσενήνοχας, τῷ δι᾽ ἡμᾶς σαρκωθέντι· ᾧ νῦν συνδοξαζόμενος, Ἱερομάρτυς Κυπριανέ, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Τῆς εὐσεβείας ἐνδεδυμένος τὴν ἰσχύν, τῆς ἀσεβείας οὐκ ἐδειλίασας τὸ κράτος, ἀθλῶν ἀνδρικώτατα, Κυπριανὲ παναοίδιμε· καὶ ἐπὶ βημάτων ἀδίκων, τὴν καλὴν ὁμολογίαν ὁμολογήσας, Χριστὸν ἀνεκήρυξας, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον· καὶ προθύμως ζηλώσας τὸν θάνατον αὐτοῦ, τῆς ἀθανάτου ζωῆς, τὸν καρπὸν ἐτρύγησας, ἐν μετοχῇ Τρισηλίου φωτὸς θεούμενος. Ἀξιωθείημεν καὶ ἡμεῖς, θεοδέκτοις πρεσβείαις σου, τῆς οὐρανίου μακαριότητος.

*Ἦχος δ΄.*

Μαρτυρικῇ ἐνστάσει, τοῖς πάλαι Μάρτυσιν ἁμιλληθείς, τῶν ἴσων βραβείων ἐκείνοις μετέσχες, τελέσας τὸν ἀγῶνά σου, Ἱερομάρτυς Κυπριανέ· ἐν εὐφροσύνῃ γὰρ πολλῇ, τῷ ξίφει τὸν αὐχένα ὑπέκλινας, καὶ τῷ ποθουμένῶ Χριστῷ, τροπαιοῦχος ἀνελήλυθας· καὶ νῦν, Ἱερομαρτύρων συχνὼν τοῖς δήμοις, καὶ

μακαρίας ἐμφορούμενος χαρᾶς, πάσης ἀνάγκης καὶ λύπης λύτρωσαι, τοὺς ἑορτάζοντας τὴν μνήμην σου.

*Δόξα. Ὁ αὐτός.*

Τὸν ἐν ἱερεῦσιν Ἀθλητήν, καὶ Νέον ἐν Μάρτυσιν Ἱερομάρτυρα, Κυπριανὸν τὸν ἱερώτατον, ᾀσματικῶς εὐφημήσωμεν· τῆς θείας πληρωθεὶς γὰρ ἀγάπης, ἔσπευσεν ὑπὲρ Χριστοῦ, ἀθλητικὸν ἀγωνίσασθαι ἀγῶνα, ἑαυτὸν ἀπαρνησάμενος· καὶ αἱμάτων σταλαγμοῖς, τὴν ἱερὰν στολὴν πορφυρώσας, ὡς ἱερεὺς καὶ Μάρτυς, εἰς τὸ ἄνω θυσιαστήριον ἔδραμε, καὶ πᾶσιν αἰτεῖται, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα καὶ πλούσιον, παρὰ Κυρίου ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, Ἱερομάρτυς Χριστοῦ, ὁ δι᾽ ἀσκήσεως τὸν νοῦν καθηράενος, καὶ θείας πλησθεὶς ἀγάπης, Κυπριανὲ ἱερέ, τῆς σαρκὸς νεκρώσας ἅπαν φρόνημα· ἐντεῦθεν εἰσέδραμες, τὸν ἀγῶνα τὸν κάλλιστον, τοῦ μαρτυρίου, καὶ τὴν πίστιν τὴν ἔνθεον, ἀνεκήρυξας,

θεολήπτῳ σου στόματι· ὅθεν διπλοῖς στεφάνοις σε, Χριστὸς ἐστεφάνωσε, καὶ κοινωνὸν Βασιλείας, τῆς ἑαυτοῦ σε ἀνέδειξεν, ἡμῖν ἐξαιτοῦντα, ἱλασμὸν καὶ σωτηρίαν, καὶ θεῖον ἔλεος.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις, Ἱερομάρτυς Χριστοῦ, ὁ τοῦ Σωτῆρος τὸ σωτήριον ὄνομα, ἐνώπιον δυσσεβούντων, ὁμολογήσας καλῶς, πολλῇ παῤῥησίᾳ καὶ στεῤῥότητι, τυράννων ὠμότητα, καὶ σαρκὸς τὰ ἐπίπονα, μὴ δειλιάσας, καὶ θανάτου ἀπόφασιν, προσδεξάμενος, ὡς χαρᾶς εὐαγγέλια· ὅθεν πρὸς τὴν ἀθάνατον, ζωὴν μεταβέβηκας, Κυπριανὲ καὶ τῆς δόξης, τῆς τῶν Μαρτύρων ἠξίωσαι, μεθ' ὧν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

Χαίροις, Ἱερομάρτυς Χριστοῦ, τῶν ἱερέων ἱερὸν ἐγκαλλώπισμα, Ἀγράφων ὁ θεῖος γόνος, τῶν μοναστῶν καλλονή, Ἱερομαρτύρων ἰσοστάσιος· ὁσίως γὰρ πρότερον, τῷ Χριστῷ εὐηρέστησας, εἶτα ἀθλήσει, ἱερᾷ ἐμεγάλυνας, καὶ ἐδόξασας, εὐσεβείας τὸ κήρυγμα· ὅθεν τὴν μακαρίαν σου, γεραίροντες ἄθλησιν, Κυπριανὲ ἐκτελοῦμεν, τὴν παναοίδιμον μνήμην σου, Χριστὸν ἀνυμνοῦντες, διὰ σοῦ ἡμῖν διδόναι, πταισμάτων ἄφεσιν.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἐν Ὁσίοις θεοειδής, καὶ ἐν ἱερεῦσιν ἐνθεώτατος, γενόμενος Ὅσιε, μαρτυρικὸν ὑπῆλθες στάδιον, ὡς τετρωμένος θείῳ ἔρωτι· καὶ ἐν πᾶσι Χριστὸν δοξάσας, τῆς οὐρανίου δόξης κληρονόμος ὤφθης, κατὰ θείαν μετοχὴν θεούμενος. Ἀλλ’ ὦ Ἱερομάρτυς Κυπριανέ, μὴ παύσῃ δεόμενος, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἐν ἀσκήσει νεκρώσας σαρκὸς τὸ φρόνημα, μαρτυρικῶς ἠγωνίσω Κυπριανὲ ἱερέ, καὶ ἐδόξασας Χριστὸν οἰκείοις αἵμασιν· ὅθεν τῆς δόξης κοινωνός, τοῦ Σωτῆρος γεγονώς, ὡς θεῖος Ἱερομάρτυς, ἀδιαλείπτως δυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἕτερον. Ἦχος γ΄. Τὴν ἐν σαρκὶ ζωήν.*

Τὸν θεῖον ἔρωτα, τὸν τοῦ Κυρίου σου, καὶ τὴν ἐκζήτησιν, τοῦ μαρτυρίου σου, Ἀγγέλων δῆμοι καὶ πιστοὶ ἐθαύμασαν πανεύφημε· διὰ τῆς ἀσκήσεως, καὶ πολλῆς παῤῥησίας σου, ἐν ὁμολογίᾳ τε, καὶ φοινίξει

αἱμάτων σου, Κυπριανὲ ἀθλοφόρε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς θεῖος ἱερεύς, καὶ κλεινὸς Ἀθλοφόρος, σοφὲ Κυπριανέ, συμπολῖτα Ἀγγέλων, ἀπαύστως καθικέτευε, τὸν Σωτῆρα καὶ Κύριον, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, τοῖς τιμῶσί σε, καὶ τὴν ἁγίαν σου μνήμην, φαιδρῶς ἑορτάζουσιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὡς βρύσις δαψιλής, οἰκτιρμῶν οὐρανίων, ἐπόμβρησον κἀμοί, εὐσπλαγχνίας ῥανίδα, Παρθένε ἀειπάρθενε, τοῦ ἐλέους θησαύρισμα, καὶ ἀπόπλυνον, τὴν ῥυπωθεῖσαν ψυχήν μου, πολλοῖς πάθεσι, καὶ πρὸς ζωὴν μετανοίας, τὸν βίον μου ῥύθμισον.

*Μετὰ τὴν β’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Θείῳ ἔρωτι, ἐπτερωμένος, χαίρων ἔσπευσας, ὁμολογῆσαι, τοῦ Σωτῆρος τὸ σωτήριον ὄνομα, καὶ ἐκτμηθεὶς τὸν αὐχένα σου ἔδραμες, Κυπριανὲ πρὸς τὰ ἄνω σκηνώματα, ἐξαιτούμενος, δοθῆναι τοῖς σὲ γεραίρουσι, πταισμάτων ἱλασμὸν καὶ θεῖον ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὡς ἀπείρανδρος, Μήτηρ Κυρίου, καὶ ἀκήρατος, Παρθενομῆτορ, ἀκαθάρτων με παθῶν ἀπολύτρωσαι, καὶ τῷ νοΐ μου τὸ πῦρ τὸ μακάριον, τοῦ θείου φόβου ὑπάναψον ἄχραντε, ὡς ἂν ἅπασαν, τὴν ὕλην φλέγῃ ἑκάστοτε, ἐκτόπων νοημάτων τοῦ ἀλάστορος.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ἱερωσύνῃ διαπρέπων ἁγίᾳ, ἀνεπτερώθης πρὸς τὴν θείαν ἀγάπην, καὶ τῶν Μαρτύρων ὤφθης ἰσοστάσιος, ἐναθλήσας Ἅγιε, καὶ τὴν πλάνην αἰσχύνας· ὅθεν κατηξίωσαι, οὐρανίων θαλάμων, Ἱερομάρτυς πάντοτε ἡμῖν, Κυπριανὲ Χριστὸν ἱλεούμενος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σωματωθεὶς ἐκ τῶν ἁγνῶν Σου αἱμάτων, ὁ ὑπερούσιος Θεὸς καὶ Δεσπότης, Σὲ πλατυτέραν οὐρανῶν ἀνέδειξεν· ὅθεν Κόρη πλάτυνον, στενωθέντα τὸν νοῦν μου, πλάτει θείας χάριτος, ἐκ παθῶν πολυτρόπων· Σὺ γὰρ προστάτις τῶν ἁμαρτωλῶν, καὶ παντὸς κόσμου, ἑτοίμη βοήθεια.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

Εὐαγγέλιον, Ὁσιακόν.

Ὁ Ν’ ψαλμός

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον Ἦχος πλ. β. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῆς ἀσεβείας τὴν φάλαγγα ᾔσχυνας, τῇ εὐτόλμῳ ὁμολογίᾳ τῆς πίστεως, Κυπριανὲ Ἱερομάρτυς ἔνδοξε· ὅθεν Χριστός, τοὺς σοὺς ἀγῶνας δεξάμενος, τοὺς ἐν ἀσκήσει καὶ ἀθλήσει, ἐπαξίων ἀμοιβῶν κοινωνόν σε εἰργάσατο.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς: *Κυπριανοῦ τὸ γέρας γεραίρω. Γερασίμου*

*ᾨδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Κόσμου τὴν ἀπάτην ἐκφυγών, ὑπερκοσμίου ἐλλάμψεως ἔτυχες, Κυπριανὲ ἔνδοξε, δι’ ἧς νοός μου τὸ σκότος διάλυσον, καὶ λόγον μοι δίδου, ὅπως ὑμνήσω σε Ἅγιε.

Ὕψωσας τὸν νοῦν σου πρὸς Χριστόν, δι’ ἐναρέτου ζωῆς καὶ ἀσκήσεως, Πάτερ ἐκ νεότητος, καὶ ἱερεὺς θεοφόρος γενόμενος, ἄθλοις μαρτυρίου, σαυτὸν Κυρίῳ ἱέρευσας.

Πόνοις ἀρετῶν ἀσκητικῶν, Κυπριανὲ διαλάμψας ἐν Ἄθωνι, τοῖς οἰκείοις αἵμασιν, ἀθλητικῶς τὴν στολήν σου ἐφαίδρυνας, καὶ Ἱερομάρτυς, Χριστοῦ ἐδείχθης περίδοξος.

*Θεοτοκίον.*

Ῥήσεσιν ἑπόμεναι ταῖς Σαῖς, Σὲ γενεαὶ γενῶν μακαρίζουσιν· ὅτι Θεὸν τέτοκας, τὸν μακαρίους ἀεὶ ἐργαζόμενον, μόνη Θεοτόκε, τοὺς εὐλαβῶς Σε δοξάζοντας.

*ᾨδὴ γ΄. Ὁ μόνος εἰδώς.*

Ἱέρευσας Πάτερ τῷ Χριστῷ, μετὰ σαρκὸς ὡς ἄγγελος, χερσὶν ὁσίαις τελῶν ἑκάστοτε, τὴν ὑπὲρ λόγον θυσίαν ἄμωμον, καὶ αὐτῷ προσήγαγες, μαρτυρίου αἵματι, σεαυτὸν ὥσπερ θῦμα εὐπρόσδεκτον.

Αἱμάτων σου θείων ταῖς βαφαῖς, Κυπριανὲ μακάριε, ἱερωσύνης στολὴν τὴν ἔνθεον, καταφοινίξας χαίρων εἰσέδραμες, πρὸς τὸ καταπέτασμα, τῆς ἄνω λαμπρότητος, τῶν καμάτων τὸ γέρα δρεπόμενος.

Νεκρώσας τὰ πάθη τῆς σαρκός, ἀπάθειαν ἐπλούτησας, καὶ ἐπληρώθης ἀγάπης κρείττονος, καὶ τῶν Μαρτύρων τῶν πάλαι Ἅγιε, μιμητὴς γενόμενος, ἱερῶς ἠρίστευσας, μαρτυρήσας ἐν πόλει τοῦ Βύζαντος.

*Θεοτοκίον.*

Ὁ πάντων Θεὸς καὶ Ποιητής, δι’ ἄκραν ἀγαθότητα, ἐκ τῶν αἱμάτων τῶν παναγίων Σου, λαβὼν παρθένε ἡμῶν τὸ φύραμα, σὰρξ ἐκ Σοῦ γεγένηται, ἐν διπλόῃ φύσεων, καὶ μιᾷ ὑποστάσει ὁρώμενος.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἐν Ἄθῳ δεξάμενος θείας ἀγάπης τὸ πῦρ, ἐν πόλει τοῦ Βύζαντος ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, νομίμως ἐνήθλησας· ὅθεν Κυπριανέ σε, ὡς κλεινὸν Ἀθλοφόρον, ἅμα καὶ ἱερέα, θεοφόρον τιμῶμεν, αἰτοῦντές Σε πρεσβεύειν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀπαύστως ἱκέτευε τὸν προελθόντα ἐκ Σοῦ, Θεόν τε καὶ Κύριον ἐκδυσωποῦμεν θερμῶς, Παρθένε πανύμνητε, ἄφεσιν τῶν πταισμάτων, καὶ παθῶν δεινῶν λύσιν, πᾶσι Θεογεννῆτορ, τοῖς βοῶσι διδόναι· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ Σοῦ.

*ᾨδὴ δ΄. Ὄρος σε τῇ χάριτι.*

Ὕδατι τῆς χάριτος, ἐν Ἄθῳ ἐτρύφησας, κατασκηνώσας ἐν αὐτῷ, Κυπριανὲ μετὰ σπουδῆς· ἐντεῦθεν τὸ αἷμά σου, καθάπερ μύρον πολύτιμον Ἅγιε, Χριστῷ τῷ Λόγῳ ἀθλήσας προσήγαγες.

Τέτρωσαι τῷ ἔρωτι, Χριστοῦ τοῦ παντάνακτος, καὶ τὸ ποτήριον αὐτοῦ, ἔσπευδες Πάτερ ἐκπιεῖν, καὶ πόλιν τοῦ Βύζαντος, καταλαβὼν τῆς σῆς ἐφέσεως ἔτυχες, καὶ πρὸς Σιὼν τὴν οὐράνιον ἔδραμες.

Ὅλος ἐνθεώτατος, ἀγάπῃ τοῦ Κτίστου σου, Κυπριανὲ ἀναδειχθείς, ἀγαλλομένῃ τῇ ψυχῇ, Χριστὸν ὡμολόγησας, ἐπὶ ἀπίστων ἀνδρείῳ φρονήματι, μὴ πτοηθεὶς τῶν ἐχθρῶν τὴν ὠμότητα.

*Θεοτοκίον.*

Γέγονας πανάχραντε, παλάτιον ἔμψυχον, τὸν προαιώνιον Θεόν, εἰσδεξαμένη ἐν γαστρί, καὶ τοῦτον γεννήσασα, ὑπερφυῶς ἐν σαρκὸς ὁμοιώματι· διὸ σαρκός μου τὰ πάθη θανάτωσον.

*ᾨδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Ἐν ἀσκήσει θεοφόρος καὶ θεόληπτος γέγονας, ἐν ἀθλήσει οὐρανόφρων καὶ ἀδείμαντος πέφηνας, πόθῳ τετρωμένος θεϊκῷ, Κυπριανὲ καὶ ζήλῳ, τῆς εὐσεβείας πυρούμενος.

Ῥήμασί σοι τοῖς ἐνθέοις τοὺς ἀπίστους ἐξέπληξας, καὶ καλῇ ὁμολογίᾳ τὸν Χριστὸν ἀνεκήρυξας, καὶ ὑπὲρ αὐτοῦ πόθῳ θανεῖν, Κυπριανὲ προείλου, ὡς τῶν γηΐνων ὑπέρτερος.

Αἱ τοῦ αἵματος λιβάδες τοῦ ἁγίου σου Ἅγιε, δρόσος θείας εὐφροσύνης εὐσεβῶν τῷ πληρώματι, ὤφθησαν σαφῶς Κυπριανέ· σὺ γὰρ τῇ σῇ ἀθλήσει, τοὺς κλονουμένους ἐστήριξας.

*Θεοτοκίον.*

Σωτηρίας Θεοτόκε ἀπαρχὴ ἡμῖν γέγονας, τὸν Σωτῆρα καὶ Δεσπότην τῶν ἁπάντων κυήσασα· ὅθεν σωτηρίας με ἁγνή, ὁδήγησον πρὸς τρίβον, ἐξ ἀτραποῦ ἀπωλείας με.

*ᾨδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς*

Γενναίως τὸν ἀγῶνα τῆς ἀθλήσεως, ὑπῆλθες Πάτερ Ὅσιε, ἀλογήσας ἀλγηδόνων τῆς σαρκός, καὶ

καταβαλὼν τὸν πολυμήχανον, Κυπριανέ· ὅθεν Μαρτύρων εὐκλείας ἔτυχες.

Ἐν σοὶ ἀγαλλιᾶται ἡ βλαστήσασα, πατρίς σε Πάτερ Ὅσιε, καὶ προστρέχει τῇ πρεσβείᾳ σου ἀεί· ἣν ῥύου χαλεπῶν ἐκ περιστάσεων, Κυπριανέ, ταῖς πρὸς Θεὸν ἀπαύστοις πρεσβείαις σου

Ῥοαῖς καταρδευθεὶς ταῖς τῆς ἀσκήσεως, ὡς δένδρον εὐθαλέστατον, ἐγεώργησας καρποὺς ἀθλητικούς· ὅθεν ὥσπερ φοίνικα κατάκαρπον, Κυπριανέ, Ὄρος τοῦ Ἄθω ὕμνοις γεραίρει σε.

*Θεοτοκίον.*

Ἀσπόρως συλλαβοῦσα τὸν ὑπέρθεον, ἀφθόρως τοῦτον τέτοκας, καὶ παρθένος μετὰ τόκον τὸν φρικτόν, ὡς πρὸ τόκου ἔμεινας, πανάφθορος· ὅθεν ἁγνή, φθοροποιῶν με παθῶν ἀπάλλαξον.

*Κοντάκιον. Ἦχος β΄. Τοὺς ἀσφαλεῖς.*

Ὡς ἀσκητὴν καὶ ἀθλητὴν ἀήττητον, ᾀσματικῶς σε ἀνυμνοῦμεν Κύριλλε, σὺ γὰρ ἤθλησας στεῤῥότατα, ἐν ἀμφοτέροις θείῳ ἔρωτι, καὶ τῷ Χριστῷ ὡς θῦμα προσενήνεξαι, διὰ πυρὸς τελέσας τὸν ἀγῶνά σου, διὸ σὺν τοῖς Μάρτυσι δεδόξασαι.

*Ετερον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Κυπριανὸν τὸν ἱερὸν ἀνευφημήσωμεν, ὡς ἐν ἀσκήσει καὶ ἀθλήσει διαλάμψαντα, πρὸς αὐτὸν ἀναβοῶντες ἀπὸ καρδίας· τὸν Χριστὸν Ἱερομάρτυς καθικέτευε, πάσης θλίψεως λυτροῦσθαι καὶ

κακώσεως, τοὺς βοῶντάς σοι· χαίροις Μάρτυς θεόληπτε.

*Ὁ Οἶκος.*

Ἄγγελος ἐν ἀθλήσει, ἀληθῶς ἀνεδείχθης, σοφὲ Κυπριανὲ ἀριστεύσας· καὶ νῦν τῆς τῶν Ἀγγέλων χαρᾶς, ἠξιωμένος ἐκτενῶς ἱκέτευε, πάσης ὀργῆς καὶ θλίψεως, λυτροῦσθαι τοὺς ἐκβοῶντας·

Χαῖρε, Ἀγράφων ὁ θεῖος γόνος·
χαῖρε, τοῦ Ἄθω εὐῶδες ἄνθος.
Χαῖρε, τῶν Ὁσίων ἐν πᾶσιν ἰσότιμος·
χαῖρε, τῶν Ἁγίων Μαρτύρων ὁμότροπος.
Χαῖρε, ἄνθραξ θείου ἔρωτος, ἱερὲ Κυπριανέ·
χαῖρε, ἄνθρωπε οὐράνιε, καὶ Ἀγγέλων κοινωνέ.
Χαῖρε, ὅτι ἐδείχθης ἱερέων λαμπρότης·
χαῖρε, ὅτι ἐφάνης μοναζόντων φαιδρότης.
Χαῖρε, Χριστοῦ δοξάσας τὸ ὄνομα·
χαῖρε, ἐχθροῦ πατήσας τὸ φρύαγμα.
Χαῖρε, δι' οὗ οἱ πιστοὶ ἑδραιοῦνται·
χαῖρε, δι' οὗ οἱ ἐχθροὶ καταργοῦνται.
Χαίροιις, Μάρτυς θεόληπτε.

*Συναξάριον.*

*Τῇ Ε΄ τοῦ αὐτοῦ Μηνός, ὁ Ἅγιος Νέος Ὁσιομάρτυς Κυπριανός, ὁ ἐν Κωνσταντινουπόλει, ἐν ἔτει 1679, ξίφει τελειοῦται.*

*Ὁ Κυπριανὸς ἀγάπῃ πεφλεγμένος,*
*ἡγεῖτο πάντως ὡς τρυφὰς τὰς βασάνους.*
*Πέμπτῃ κράτα Κυπριανός, φαίδιμος ἀπηνῶς ἐτμήθη.*

*ᾨδὴ ζ΄. Σὲ νοητήν.*

Ἱερουργῶν, τὰ σεπτὰ μυστήρια, ὡς ἱερεὺς ὢν ἱερός, προσενήνοχας σεαυτόν, ὡς θυσίαν ἄμωμον, Χριστῷ, δι᾽ ἀθλήσεως, Κυπριανὲ παμμακάριστε, τὸν αἰνετὸν μεγαλύνων, Θεὸν καὶ ὑπερένδοξον.

Ῥώμῃ Θεοῦ, ἐχθρὸν τὸν ἀνίσχυρον, καταβαλὼν Κυπριανέ, διὰ πόνων ἀθλητικῶν, στέφος ἀμαράντινον, ἐκ χειρὸς ἀπείληφας, ἀναβοῶν τοῦ παντάνακτος· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὡς τοῦ Χριστοῦ, πτερωθεὶς τῷ ἔρωτι, ὅλος μετάρσιος τὸν νοῦν, ἀνεδείχθης Κυπριανέ, καὶ στεῤῥῶς ἐνήθλησας, καὶ τυθεὶς ἀνέδραμες, πρὸς Ὃν ἐπόθεις μακάριε, τὸν αἰνετὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

*Θεοτοκίον.*

Γέλως ἐχθρῷ, γέγονα πανάμωμε, τῇ τῶν χειρόνων ἐμμονῇ· ἀλλὰ Σύ με ὡς συμπαθής, καὶ πηγὴ χρηστότητος, παθῶν ἀμαυρώσεως, ῥῦσαι καὶ νόμῳ τῆς χάριτος, τὸν νοῦν μου Θεογεννῆτορ, ὑπόταξον καὶ σῶσόν με.

*ᾨδὴ η΄. Ὃν φρίττουσιν Ἄγγελοι.*

Ἐνθέως εὐφραίνεται, καὶ χαίρει ἐν Χριστῷ, ἡ σὲ ἐξανθήσασα, πατρίς σου Ἀθλητά, τῇ σῇ εὐκληρίᾳ, ἣ δίδου ἀεί, Κυπριανὲ μάκαρ, τὰς θεοσδότους δόσεις.

Ῥωσθεὶς θείῳ Πνεύματι, σαρκὸς τὸ ἀσθενές, παρεῖδες καὶ ἔσπευσας, θανεῖν ὑπὲρ Χριστοῦ· διὸ τῆς

ἀλήκτου, ζωῆς τε καὶ χαρᾶς, ὡς Ἱερομάρτυς, λαμπρὸς κατηξιώθης.

Ἀθλήσεως αἵμασι, τὸ πῦρ τῶν ἀσεβῶν, κατέσβεσας Ἅγιε, καὶ ὕδωρ πρὸς τὸ ζῶν, ἀνῆλθες ἐν δόξῃ, τῷ ξίφει ἐκτμηθείς· διὸ κἀμοὶ βλῦσον, ἀφέσεως σταγόνα.

*Θεοτοκίον.*

Σαρκὸς ὁμοιώματι, προῆλθεν ὑπὲρ νοῦν, ἁγνῶν ἐξ αἱμάτων σου, ὁ Λόγος τοῦ Θεοῦ, καὶ ἔσωσε Κόρη, ἀλογίας παθῶν, τοὺς ὑπερυψοῦντας, τὸν ἄφραστόν Σου τόκον.

*Ὠδὴ θ΄. Τὴν φωτοφόρον νεφέλην.*

Ἱερουργὸς ὢν Κυρίου, τούτου τὸ ἅγιον πάθος, Κυπριανὲ πόθῳ θερμῷ, ἀληθῶς ἐμιμήσω, καταλιπὼν τὰ ἐπὶ γῆς, καὶ χαίρων πρὸς δόξαν τὴν οὐράνιον, ἀνελήλυθας Πάτερ, καὶ Ἁγίων ἠριθμήθης τοῖς χοροῖς.

Μαρτυρικῇ παῤῥησίᾳ, Χριστὸν κηρύξας εὐτόλμως, Κυπριανὲ μετὰ σπουδῆς, ἐν φαιδρῷ τῷ προσώπῳ, καὶ εὐφροσύνῃ ἀληθεῖ, ἐδέξω τὸν θάνατον καὶ ἔδραμες, πρὸς ἀθάνατον δόξαν, θανατώσας τοῖς σοῖς ἄθλοις τὸν ἐχθρόν.

Ὁλολαμπὴς τῇ ἐλλάμψει, πέλων τῆς ἄνω εὐκλείας, ταῖς φωτοφόροις σου εὐχαῖς, τῆς ψυχῆς μου τὸν ζόφον, λῦσον σοφὲ Κυπριανέ, καὶ δέξαι ὡς δῶρον εὐαπόδεκτον, τὸν παρόντα μου ὕμνον, καὶ δουλείας με ἐκλύτρωσαι παθῶν.

*Θεοτοκίον.*

Ὕδωρ ζωῆς ἀθανάτου, ὡς χαριτόβρυτος κρήνη, βλῦσόν μοι Κόρη δυσωπῶ, τῷ αὐχμῷ ἁμαρτίας, ἐκτηκομένῳ χαλεπῶς, καὶ δίδου γνησία μοι μετάνοιαν, ἵνα τύχω Παρθένε, Βασιλείας διὰ Σοῦ τῶν οὐρανῶν.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἀσκήσει κατελάμπρυνας, Κυπριανὲ τὸν βίον σου, καὶ μαρτυρίου ἀγῶσιν, ἐδόξασας τὸν Σωτῆρα· διὸ τῆς ὑπὲρ ἔννοιαν, λαμπρότητος ἠξίωσαι, Ἱερομάρτυς ἔνδοξε, ὑπὲρ ἡμῶν ἱκετεύων, τὸν Βασιλέα τῆς δόξης.

*Θεοτοκίον.*

Χριστὸν τὸν ὑπεράγαθον, οἷα Υἱόν Σου πάναγνε, τὸν πλούσιον ἐν ἐλέει, καὶ οἰκτιρμοῖς Θεοτόκε, ὑπὲρ ἡμῶν ἱκέτευε, τῶν πεποιθότων πάντοτε, τῇ μητρικῇ πρεσβείᾳ Σου, ὡς ἂν ῥυσθῶμεν πταισμάτων, καὶ πειρασμῶν πολυτρόπων.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τὸ πῦρ τῆς θείας ἀγάπης ἐν τῇ καρδίᾳ σου, Κυπριανὲ παμμάκαρ, δι’ ἀσκήσεως πόνων, δεξάμενος πλουσίως ἀθλητικούς, πρὸς ἀγῶνας ἐχώρησας, καὶ μαρτυρήσας ἀνδρείως ὑπὲρ Χριστοῦ, τοῖς Ἀγγέλοις συνηρίθμησαι.

Ὥσπερ νεόφωτον ἄστρον Κυπριανὲ ἱερέ, ἐξ Ἄθω ἀνατείλας, τὴν Χριστοῦ Ἐκκλησίαν, φωτὶ τῶν σῶν

ἀγώνων φωταγωγεῖς, ἐναθλήσας στεῤῥότατα· διὸ τιμᾶ σε καὶ μέλπει ᾀσματικῶς, ὡς Χριστοῦ Ἱερομάρτυρα.

Ἀποτμηθεὶς τὸν αὐχένα ἀγαλλομένῃ ψυχῇ, ὑπὲρ Χριστοῦ θεόφρον, ὅνπερ σφόδρα ἐπόθεις, ἀνῆλθες μετὰ δόξης πρὸς τὴν ζωήν, καὶ χαρὰν τὴν ἀΐδιον, Ἱερομάρτυς Κυρίου Κυπριανέ, Ὀρθοδόξων ἀγαλλίαμα.

Δήμοις Ὁσίων θεόφρον καὶ Ἀθλητῶν τοῖς χοροῖς, καὶ Ἱερομαρτύρων, τῇ λαμπρᾷ συσκηνίᾳ, τελέσας τὸν ἀγῶνα Κυπριανέ, ἠριθμήθης γηθόμενος, μεθ’ ὧν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῶν ἀρετῶν τῷ φωτὶ λαμπόμενος, μαρτυρικοῖς ὡμίλησας πόνοις, πρὸς τὸν σκοπὸν τῆς ἄνω κλήσεως, ὁλοσχερῶς κατευθυνόμενος· ὑπέρτερος γὰρ πάντων, ἐν σαρκὶ ὡράθης, τῆς τοῦ Χριστοῦ ἀγάπης, τιτρωσκόμενος τῷ βέλει· καὶ τοῖς οἰκείοις αἵμασι, τὴν ἱερὰν στολὴν πλέον λαμπρύνας, Ἱερομάρτυς περίδοξος, ὤφθης τοῦ Σωτῆρος. Ἀλλ’ ὦ Κυπριανὲ μακάριε, τῇ ὑπερθέῳ Τριάδι πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ.

Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάρια.*

Τῆς Θεσσαλονίκης θεῖος βλαστός, καὶ τοῦ Ἄθω ἄστρον ἀναδέδειξαι φαεινόν, Κύριλλε θεόφρον, ὑπὲρ Χριστοῦ ἀθλήσας· διὸ Ὁσιομάρτυς σε μακαρίζομεν.

Ἐξ Ἀγράφων ἤνθησας μυστικῶς, καὶ ἐν Ἄθῳ Πάτερ, ἠγωνίσω ἀσκητικῶς, καὶ ἐν Βυζαντίῳ, Κυπριανὲ ἀθλήσας, Ἱερομάρτυς ὤφθης, Χριστοῦ περίδοξος.

